## AESCHYLUS

I [II p. 241B., I i 77D.]

*κυανέη καὶ τούσδε μενεγχέας ὤλεσεν ἄνδρας*
*Μοῖρα πολύρρηνον πατρίδα ῥυομένους.*
*ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις*
*τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.*

II [II p. 241B., I i 78D.]

*Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει*
*μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·*
*ἀλκὴν δ᾽ εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι*
*καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.*

## EMPEDOCLES

I [II p. 260B., I i 132D.]

*Παυσανίην ἰητρὸν ἐπώνυμον, Ἀγχίτου υἱόν,*
*φῶτ᾽ Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα,*
*ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι*
*φῶτας ἀπέστρεψεν Φερσεφόνης ἀδύτων.*